*ἔστω τοι Κερόεσσα, τό τε πλάτος ἐμβαίνουσα*
*ᾧ τε βορειότατον ζώνης πλινθήιόν ἐστιν,*
*ἢ Διὸς ἢ Παφίης ἐ⟨ν⟩ σχήμασι μαρτυρεόντων*
*ἢ καὶ συνεσσομένων· Φαίνων γε μένεσσιν ἐρύκει*
*δερκόμενος, μαλερὴν δὲ περὶ φλόγα Θοῦρος ὀρίνει.*

*καθαιρετέον δὲ τοὺς τοίχους ἀπὸ τοῦ βορεινοῦ ὕψους ⟨Σελήνης⟩* 11
*κατερχομένης, ἀνενεκτέον δὲ λίθον ἀπὸ θεμελίων αὐτῆς οὔσης ἐν τοῖς*
*χθαμαλωτάτοις μέρεσιν, τουτέστιν ἐν τῷ νοτίῳ πέρατι. ⟨ἐν πᾶσι δὲ* 12
*τούτοις οἱ μὲν κακοποιοὶ ἀπέστωσαν, οἱ δὲ ἀγαθοποιοὶ μαρτυρείτωσαν.⟩*

Vide etiam Heph. Ep.[1] 32, 9–12 atque Ep.[4] 82, 9–12 (fr. 81 b Stegemann).

V 9, 1–43, 8. Hephaestionis III 16, 1–17 (11–17 = fr. 80 a Stegemann)

## *⟨ιϛʹ⟩ Περὶ ἀγορασίας διαφόρων εἰδῶν*

*Ἐπισκόπει τὴν καταρχὴν οὕτως. καὶ ἀφοριστέον τὸν μὲν ὡροσκόπον* 1, 2
*τῷ πιπράσκοντι, τὸ δὲ δῦνον τῷ ἀγοράζοντι, τὸ ⟨δὲ⟩ μεσουράνημα τῷ*
*τιμήματι, τὸ δὲ ὑπόγειον τῷ ἀγοραζομένῳ, ἐκ δὲ τῶν ἐπιμαρτυρούντων*
*τοῖς τόποις καταστοχαστέον περὶ τοῦ ἀποτελέσματος. ἔστι δὲ καὶ* 3
*ἄλλως πῆξαι περὶ ἀγορασίας τὴν μὲν Σελήνην τὸ πιπρασκόμενον σῶμα*
*ἢ χωρίον ἤ τι ἕτερον πιπρασκόμενον, τὸν δὲ ἀστέρα ἀφ' οὗ τὴν ἀπόρ-*
*ροιαν πεποίηται τὸν πιπράσκοντα, ᾧ δὲ συνάπτει τὸν ἀγοράζοντα· καὶ*
*πρόσεχε ἕκαστον τούτων καὶ τὰς μαρτυρίας.*

*Ἐπισκοπητέον ἔκ τε τῆς Σελήνης εἰ σεσίνωται ὁ πιπρασκόμενος* 4
*ἢ οὔ. καθολικῶς δὲ τῆς Σελήνης καθ' αὑτὴν οὔσης ἐν μὲν Κριῷ ῥεμβὸς* 5
*καὶ ἀλήμων ὁ πιπρασκόμενος οἰκέτης, ἐν δὲ Ταύρῳ ἰσχυρὸς καὶ ὑπο-*
*μονητικός, καλοὶ δὲ οἱ οἰκέται ἀγοραζόμενοι εὑρίσκονται ἐν τῷ τρίτῳ*
*δεκανῷ τῶν Διδύμων, ἐν δὲ Καρκίνῳ νωχελεῖς καὶ δολεροί, ἐν δὲ Λέοντι*
*γενναῖοι καὶ ἅρπαγες καὶ ἀδηφάγοι, κακοστόμαχοι δέ· ἐν Παρθένῳ*
*συνετὸν μηνύει, ἐν δὲ Ζυγῷ φιλεργὸν καὶ δίκαιον, ἐν δὲ Σκορπίῳ*
*ἰσχυρόν, δολερόν τε τὰ ἤθη καὶ βαρύθυμον, ὁμοίως καὶ ἐν Τοξότῃ,*
*ἐν δὲ Αἰγοκέρωτι παλίμβουλον καὶ ψεύστην, ἐν δὲ Ὑδροχόῳ φιλεργόν,*
*ἐν δὲ Ἰχθύσι κακὸν καὶ λοίδορον.*